ἀνθρώπου λογισμῷ κατ᾽ ἐπιτροπὴν Θεοῦ. τούτων γὰρ
χωρὶς, παντελῶς ἠκρωτηρίαστο ἀνθρώποις ὁ βίος. εἰ δὲ
βλαβερὰ πρὸς τοῦ Μάνεντος νενόμισται τῷ καταφθεί-
ρειν τὰ παραβαλλόμενα σώματα, πολλῷ μᾶλλον ὠφέλι-
μά τε καὶ σωτήρια φανήσεται τῇ ἀναγκαίᾳ χρήσει πρὸς
ἅπαντα. εἰ δὲ λανθάνοντα ἐνυπάρχει τῇ δημιουργίᾳ
ἀνθρώπου δὲ ταῦτα λογισμὸς τὴν ἀρχὴν ἐξεῦρε, τίνι
λογιστέον τὸν εὑρόντα λογισμόν; ἆρα τῇ μὴ ἐχούσῃ
γνῶσιν κακίᾳ τε καὶ ὕλῃ κατ᾽ ἐκεῖνον ἢ τῷ ἀγα-
θῷ; ἀλλὰ δῆλον ὡς λογισμοῦ σοφίᾳ ἀγαθόν τι καὶ ἀ-
γαθοῦ δῶρον. τίνι δὲ αὐτομάτως ἀφήλατο ποτὲ σίδηρος,
ὁ τῇ χρήσει τοῦ λογισμοῦ μόνον ὑποβεβλημένος, καὶ
πάσῃ τέχνῃ δουλεύων; ἀλλὰ φονεύει φησὶ δι᾽ αὐτοῦ ἄν-
θρωπος, καὶ πρὸς τὸ ἐργαλεῖον ἡ κακοτεχνία τοῦ χρω-
μένου, ὡς εἰ μὴ ἦν ὁ τοῦτον τὸν τρόπον χρώμενος
οὐκ ἄν γε ἔδοξεν εἶναι σίδηρος κακός. εἰ γὰρ βουλεύ-
σαιτο μὲν ὁ φονεὺς δρᾶσαι φόνον, διαμάρτοι δὲ τῆς
πράξεως, ἆρά γε οὐ δῆλον ὡς ἡ μὲν πρόθεσις τὸ
ἔργον διεπράξατο, ὁ δὲ σίδηρος ἀναμάρτητος; οὕτω
δὴ κἂν δράσῃ, οὐχὶ σίδηρος αἴτιος, ἀλλ᾽ ὁ σιδήρου
τῷ τεμεῖν οὐ κατὰ λόγον χρησάμενος. εἰ δὲ ξύλῳ
παίσει, ἢ λίθῳ κρούσει, ἢ χερσὶν ἰδίαις ἀποπνίξει, αὖ-
θις καὶ ταῦτα προσαγορεύσει κακά. καὶ πάντα μᾶλ-
λον αἴτια παρὰ τῷ Μάνεντι, ἢ τὸ ὄντως αἴτιον
ὁ ἑκούσιος λογισμός. τὰ γὰρ ῥηθέντα πάντα μετὰ
σιδήρου οὔτ᾽ ἀγαθὰ οὔτε κακὰ τυγχάνει. ἕλκεται
δὲ πρὸς ὃ ἂν βουληθείη ὁ χρώμενος, ἐργαλείων δί-
κην παρακείμενα, καὶ τῷ χρωμένῳ δουλεύοντα, ἅπερ
εἰ μὴ παρεδέδοτο ἀνθρώπῳ οὔτ᾽ ἂν τὰς τέχνας
οὕτω διήνυσεν, οὔτ᾽ ἂν τὰς χρήσεις τὰς ἀπ᾽ αὐτῶν
ἔσχεν